**ἀνταπόδοσις**

Hephaest. 64. 18 sqq. τῶν δὲ κατὰ συστήματα γεγραμμένων τὰ μέν ἐστι κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μικτὰ συστηματικά, τὰ δὲ κοινὰ συστηματικά· περὶ ὧν ἐροῦμεν. κατὰ σχέσιν μὲν οὖν ἐστι, ἃ δουλεύων ἀνταποδόσει καὶ ἀνακυκλήσει ὁ ποιητὴς γράφει.

Hermog. *de id.* I 12 (p. 292. 1 sqq. Rabe) δύο γὰρ κῶλα συντεθέντα δύο κώλοις ἑτέροις συνεζευγμένοις ὥσπερ ἐν στροφῇ καὶ ἀντιστρόφῳ τὴν ἀνταπόδοσιν ἔχει· ἐνταῦθα δὲ τὸ κάλλος καὶ αἱ παρισώσεις ἐποίησαν, οὐ μόνον ὁ κατὰ συζυγίαν μερισμός.

Schol. in Aesch. *Eum.* 346b (p. 214. 25 sqq. Smith) ἡμέτερον + γινομέναισιν] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μεσῳδικά, ὡς εἴρηται· οὐκ εἰσὶ δὲ διόλου τοιαῦτα, ἀλλ᾽ ἐν τῇ πρώτῃ μόνον στροφῇ ἔστι καὶ μεσῳδός, αἱ δὲ λοιπαὶ δύο ταῖς ἀντιστροφαῖς εἰσι συνημμέναι ... ἐπὶ τῷ τέλει τῆς μὲν πρώτης στροφῆς παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν, τῶν δὲ λοιπῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντος τοῦ χοροῦ.

Schol. in Aesch. *Eum.* 837b (p. 217. 2 sqq. Smith) ἡμέτερα + ἐμὲ παθεῖν τάδε] στροφὴ ἑτέρα κώλων ια′, ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Aesch. *Eum.* 916b (p. 217. 21 sqq. Smith) ἡμέτερα + δέξομαι Παλλάδος] τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀλλοιόστροφα … ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Aesch. *Eum.* 956b (p. 218. 1 sqq. Smith) ἡμέτερα + ἀνδροκμήτας] στροφὴ ἑτέρα κώλων χοριαμβικῶν ιβ′. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Aesch. *Pers.* 955 (p. 69. 27 sqq. Massa Positano) οἴ οἴ] ἡ στροφὴ αὕτη κατὰ σχέσιν ἐστίν … ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσ<ιν>.

Schol. in Aesch. *Prom.* 159 (p. 14 sq. Smyth) + τίς ὧδε τλησικάρδιος] … ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ ὡς εἴρηται διὰ τὸ ἔχειν ἀνταπόδοσιν.

Schol. in Aesch. *Prom.* 526 (p. 41 Smyth) ἡμέτερον + μηδάμ᾽ ὁ πάντα νέμων] τὰ τοιαῦτα εἴδη τῶν χορ<ῶν> καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων φησίν (p. 64. 22 sq.), ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδόσει καὶ ἀνακυκλήσει γράφει. ἰστέον δὲ ὅτι καὶ τὰ ἐπῳδικὰ κατὰ σχέσιν ἐστίν.

Schol. in Soph. *Ai.* 221 (p. 436a. 28 sqq. Stephanus) οἵαν ἐδήλωσας] τὰ τοιαῦτα εἴδη καλεῖται κατὰ σχέσιν· κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων φησίν (p. 64. 22 sq.).

Schol. in Soph. *Ai.* 348 (p. 436b. 38 sqq. Stephanus) ἰώ μοι φίλοι] τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται· εἰσὶ δὲ καὶ κατὰ σχέσιν ... ἐπὶ τῷ τέλει συνήθως παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Soph. *Ai.* 412 (p. 437b. 6 sqq. Stephanus) πόροι ἁλίροθοι] ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ (v. 394) ‘ἰὼ σκότος’. ἔστι δὲ κώλων ὁμοίων ἐκείνης ις΄ ... ἐν τῷ τέλει δύο μόναι διπλαῖ συνήθως. ἴσθι δὲ ὅτι

ἐν μὲν ταῖς προρρηθείσαις σρροφαῖς ἡ ἔσω νενευκυῖα τίθεται ἐπὶ τέλει διπλῆ, μετὰ δὲ τὴν συμπλήρωσιν τῶν τε στροφῶν καὶ ἀντιστροφῶν καὶ τῶν μεταξὺ τούτων ἀνομοιομερῶν συστημάτων δύο τίθενται διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ ἐν τῷ τέλει, ἐξ ὧν δηλοῦται ὡς τέλος ἔσχε τὰ ᾄσματα ἃ κατ᾽ ἀνταπόδοσιν γέγραπται, ὡς προείρηται.

Schol. in Soph. *Ant*. 100 (p. 450a. 41 sqq. Stephanus) ἀκτὶς ἀελίου] τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μεσῳδικά. μεσῳδικὰ δέ ἐστιν, ὡς Ἡφαιστίων φησίν (p. 67. 14 sq.), ἐν οἷς περιέχει μὲν τὰ ὅμοια, μέσον δὲ τὸ ἀνόμοιον τέτακται. ἔστι δὲ τὸ παρὸν ᾆσμα στροφῶν δύο, τῆς πρώτης στροφῆς τὰ κῶλα ια´, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα … εἶτα ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Soph. *Ant*. 134 (p. 451a. 33 sqq. Stephanus) ἀντίτυπος] τῆς δευτέρας ταύτης στροφῆς τὰ κῶλα θ´ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα … ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Soph. *El*. 193 (p. 441a. 42 sqq. Stephanus) οἰκτρὰ μὲν νόστοις] ἡ στροφὴ αὕτη κατὰ σχέσιν ἐστίν· ἔχει γὰρ καὶ ἀντιστροφήν, καὶ ἔστι κώλων η´ ... ἑξῆς παράγραφος καὶ διπλαῖ, ἔσω νενευκυῖαι διὰ τὴν ἀνταπόδοσιν καὶ ἔξω.

Schol. in Soph. *El*. 236 (p. 441b. 32 sqq. Stephanus) καὶ τί μέτρον] σύστημα ἕτερον ἐπῳδικὸν πασῶν τῶν στροφῶν καὶ τῶν συστημάτων, κώλων ιε´ ... ἐπὶ τῷ τελευταίῳ κώλῳ δύο διπλαῖ ἔξω νενευκυῖαι, ἡ μὲν κατ᾽ ἄρχης τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσαι ὡς τέλος ἔσχε τὰ ᾄσματα ἃ κατ᾽ ἀνταπόδοσιν γέγραπται.

Schol. in Soph. *El*. 1232 (p. 443b. 5 sqq. Stephanus) ἰὼ γοναί] τὰ τοιαῦτα εἴδη καὶ αἱ περίοδοι καλοῦνται ἀλλοιόστροφα, ὡς εἴρηται … εἶτα παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ, διὰ τὴν ἀνταπόδοσιν, ἐπὶ τῷ τέλει τοῦ τελευταίου κώλου, ἐν δὲ τῇ ἀρχῇ ἡ ἔξω νενευκυῖα.

Schol. in Soph. *El*. 1239 (p. 443b. 25 sqq. Stephanus) ἀλλ᾽ οὐ] ἡ παροῦσα στροφὴ κώλων ἐστὶ ε´ ... εἶτα παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

Schol. in Eur. *Hec*. 444-465 (p. 208. 23 sqq. Dindorf) τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται κατὰ σχέσιν. κατὰ σχέσιν δέ ἐστιν, ὡς Ἡφαιστίων (p. 64. 22 sqq.) φησίν, ὅσα δουλεύων ὁ ποιητὴς ἀνταποδόσει καὶ ἀνακυκλήσει γράφει.

Schol. in Eur. *Or*. 174-186 (p. 12. 2 sqq. Dindorf) ἐπὶ τῷ τέλει παράγραφος, καὶ διπλῆ ἔσω καὶ ἔξω νενευκυῖα, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

Schol. in Eur. *Or*. 195-207 (p. 12. 21 sqq. Dindorf) τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ τοῦ τελευταίου κώλου, ἡ δὲ κατὰ τὸ τέλος, ἀμφότεραι μὲν ἔξω νενευκυῖαι, δηλοῦσαι ὡς τέλος ἔσχε τὰ ἀποδιδόμενα, ἤτοι τὰ ἀνταποδιδόμενα, ἐν τῷ ιβ´ κώλῳ.

Schol. in Eur. *Or*. 1248-1250 (p. 18. 10 sqq. Dindorf) τὰ ἑξῆς ταῦτα εἴδη καλεῖται καί, ὡς εἴρηται, ἀλλοιόστροφα· εἰσὶ δὲ κατὰ σχέσιν ... ἐπὶ τῷ τέλει παράγραφος καὶ δύο διπλαῖ διὰ τὴν ἀνταπόδοσιν, ἡ μὲν ἐν ἀρχῇ τοῦ κώλου, ἡ δὲ κατὰ τὸ τέλος.

Schol. in Aristoph. *av*. 737b (p. 116 Holwerda) Tr Μοῦσα λοχμαία] ἡ στρο-

φὴ καὶ ᾠδὴ αὕτη κώλων ἐστὶ διαφόρων καὶ ἀσυναρτήτων ις΄ ... ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν. εἰσὶ δὲ καὶ ταῦτα πολυσχημάτιστα.

SCHOL. REC. in Aristoph. *nub*. 275c (p. 48 sq. Koster) $Tr^2$ ἀέναοι Νεφέλαι] ἡ ἐπεισόδιος αὕτη στροφὴ καὶ ᾠδὴ τοῦ χοροῦ κώλων ἐστὶ ις′ … ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα τὴν στροφὴν ἔχειν ἀνταπόδοσιν.

SCHOL. REC. in Aristoph. *nub*. 563d (p. 89 sq. Koster) $Tr^2$ ὑψιμέδοντα μὲν θεῶν] τοῦτο στροφὴ καὶ ᾠδὴ ὀνομάζεται διὰ τὸ στροφήν τινα ποιεῖσθαι τὸν χορὸν ἀπὸ τοῦ πρὸς τοὺς θεατὰς ὁρᾶν καὶ ᾄδειν εἰς ἕτερον ἀφορῶντα μέρος· ἔστι δὲ ὡς ἐπιτοπλεῖστον εἰς θεοὺς ἡ ᾠδή … καλεῖται δὲ ταῦτα πολυσχημάτιστα διὰ τὸ διάφορα δέχεσθαι μέτρα, ὧν τελευταῖον (v. 574) ‘ἐν θνητοῖσί τε δαίμων’. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

SCHOL. REC. in Aristoph. *nub*. 575d (p. 91 Koster) $Tr^2$ ὦ σοφώτατοι θεαταὶ] τοῦτο ἐπίρρημα ὀνομάζεται … ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα δηλοῦσα ἔχειν ἀνταπόδοσιν.

SCHOL. in Aristoph. *pac*. 459b α (p. 75 Holwerda) Tr ὦ εἶα] ἡ ἀμοιβαία αὕτη στροφὴ κώλων ἐστὶ ιδ′, ἔχει δὲ ἑξῆς καὶ ἀντιστροφὴν ἐξ ὁμοίων ἀρχομένην κώλων … ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν.

SCHOL. in Aristoph. *ran*. 534 (p. 291b. 18 sqq. Dübner) ταῦτα μὲν πρὸς ἀνδρός ἐστιν] εἴσθεσις μέλους χοροῦ προῳδικὴ στροφῆς λόγον ἔχουσα· ἔχει γὰρ καὶ ἀντίστροφον, τὸ (v. 589 νῦν σὸν ἔργον ἐστίν’ ... ἑξῆς δὲ σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ἀναλόγως τῇ στροφῇ τῇ τε ποσότητι καὶ ποιότητι τῶν κώλων. ἐπὶ τῷ τέλει ἑκατέρου παράγραφος καὶ ἔσω νενευκυῖα διπλῆ διὰ τὴν ἀνταπόδοσιν.

SCHOL. in Aristoph. *ran*. 686 (p. 295a. 50 sqq. Dübner) τὸν ἱερὸν χορὸν δίκαιόν ἐστι] τὸ τοιοῦτον παράβασις καλεῖται … σύγκειται δὲ ἐκ στίχων τροχαικῶν τετραμέτρων καταληκτικῶν κ′ ... ἐπὶ τῷ τέλει διπλῆ ἔσω νενευκυῖα διὰ τὴν ἀνταπόδοσιν.

SCHOL. A in Hephaest. 169. 5 sq. ὡς ἐν τῷ παρ᾽ Ἀλκαίῳ ᾄσματι] ἀνταπόδοσις γὰρ γίνεται συστηματική.

SCHOL. A in Hephaest. 170. 4 sqq. κοινὰ δέ ἐστι συστηματικά] τὰ δυνάμενα ἐπιδέξασθαι τὰ δύο εἴδη· ‘τὰ’ δὲ ‘δύο εἴδεσιν ὑποπεπτωκότα’ τῶν τε ἐξ ὁμοίων καὶ τῶν κατὰ σχέσιν. ἐξ ὁμοίων ἄπειρος μὲν οὖν φήσειεν <ἂν> εἶναι ᾆσμα διὰ τὸ ἐκ τῶν αὐτῶν ποδῶν τῶν ἰωνικῶν καταμετρεῖσθαι, τῇ δὲ ποσότητι ἐναλλάττειν, ὁ δὲ ἔμπειρος κατὰ σχέσιν, ἐπεὶ ἀνταπόδοσις γίνεται τῶν στροφῶν. [*A.T.*]